ψεσι συνιςῶσι κανόνιον ἐν ἑκάςῃ τριακοσαετηρίδι λογιζόμενοι τὴν σεληνιακὴν προέμπτωσιν· μετὰ δὲ δισχίλια τετρακόσια ἔτη, ἐκ ἐπὶ τῦ δισχιλιοςῦ τετρακοσιοςῦ, ἀλλ' ἐπὶ τῦ δισχιλιοςῦ πεντακοσιοςῦ ταύτην ποιῦσι διὰ τὰ παρορώμενα 12 ½ ἔτη, ἅπερ ἐν τοσύτῳ χρόνῳ εἰς ἑκατὸν συνάγοιντο· ϗ ἵνα συνελὼν εἴπω, ἡνίκα τὸ ἔτος ἐκ βισέξτε μεταπίπτει εἰς κοινὸν, καὶ ὐδεμία ἐςὶ τῆς σελήνης προέμπτωσις τῇ κατωτέρα, ἡνίκα δὲ βίσεξτον λογίζεται, συμβαίνει τε προέμπτωσις, τῇ ἀνωτέρα χρηςέον σειρᾶ· ἡνίκα δὲ συμβῇ ἑκάτερον, ἤτοι τῦ τε ἔτυς ἐκ βισέξτε εἰς κοινὸν μετάπτωσις, ϗ σεληνιακὴ προέμπτωσις, ἡ αὐτὴ ἔςαι αὐτοῖς ἐν χρήσει σειρὰ, ἔςαι γὰρ τότε ἐξίσωσις.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ

## Πρόβλημα ιέ.

### Τῦ ἔτυς δοθέντος τὰς ἐπακτὰς εὑρεῖν κατὰ τὺς δυτικύς.

Εὑρεθήτω α΄. ἐν τῷ προεκτεθέντι κανονίῳ ἡ σειρὰ τῶν ἐτῶν, ἐν οἷς περιέχεται ϗ τὸ δοθὲν ἔτος· β΄. δὲ οἱ κύκλοι τῆς σελήνης τῦ αὐτῦ· γ΄. ἐπὶ τῦ ὑλικῦ κανονίυ τῶν ἐπακτῶν ζητηθήτω τίνι χαρακτῆρι τῆς σειρᾶς ταύτης συντρέχυσιν οἱ τῆς σελήνης κύκλοι, ϗ ὗτος ἔςαι τῶν ἐπακτῶν παραςατικός· οἷον ἐπὶ τῦ ἐνεςῶτος ἔτυς ͵αψοδ΄. ὄντων ἐν χρήσει κατὰ τὺς δυτικὺς τῦ ή. κύκλυ σελήνης, σειρᾶς δὲ τῆς C, ἐπεὶ ἐπ' αὐτῆς τῆς σειρᾶς συντρέχει ὁ ή. κύκλος

Ε.Υ.Δ. της Κ.Σ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς σελήνης τῷ XXVIII χαρακτῆρι, εἴκοσι καὶ ὀκτὼ ἔσονται ἐπὶ τοῦδε τοῦ ἔτους ἐπακταί, καὶ ὁ χαρακτὴρ οὗτος ἐπὶ τῶν χρονολογικῶν πινάκων τῶν νουμηνιῶν παραστατικός.

## Πρόβλημα ιϛʹ.

### Εἴπερ ὑγιῶς ἔχει ἡ ἐπανόρθωσις αὕτη.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Καὶ ταῦτα μὲν ὁ τῆς πρεσβυτέρας ῥώμης Πάπας, καὶ οἱ δυτικοὶ τὰ οἰκεῖα κατὰ τὰ σφίσιν αὐτοῖς δοκοῦντα ἐπανορθούμενοι· οὐ μέντοιγε καὶ τοὺς ἀνατολικοὺς ἀρεσκομένους τούτοις ἔσχον, οὔτε μὴν στέργοντας· ἀλλ᾽ ὥσπερ ἐν πλείστιν ἄλλοις διαφωνοῦσιν, οὕτω καὶ ἐν τῇ τῶν ἡμερῶν ἀπαριθμήσει διενηνόχασιν· ὁ γὰρ τῆς νέας Ῥώμης ἀρχιεπίσκοπος, καὶ οἰκουμενικὸς Πατριάρχης Ἱερεμίας μετὰ Σιλβέστρου τοῦ Πάπα, καὶ Πατριάρχου Ἀλεξανδρείας γράμμασιν ἁπανταχοῦ τὸν δυτικὸν στηλιτεύσας νεωτερισμὸν ἀπεῖρξε τοὺς οἱ πειθομένους συννεωτερίζειν τοῖς δυτικοῖς· ἔξεστι τῷ βουλομένῳ ἐντυχεῖν τοῖς γράμμασιν ἐν τῷ τόμῳ τῆς Ἀγάπης σελίδι φλή. ὅπερ ἄν τις τυχὸν ἐκείνων καὶ μωμήσαιτο λέγων, ὡς οὐ μᾶλλον τοῖς ἐκκλησιαστικῶς ἀποφαινομένοις, ἢ τοῖς ἀστρονομοῦσι προσήκει τὰ τοιαῦτα διορίζειν, καὶ ἀποφαίνεσθαι· ἀλλ᾽ ἡμεῖς τούτους ἐάσαντες χαίρειν, πρὸς τοὺς πυνθανομένους, πότερον ἡ κατ᾽ ἐκείνους ἐπιδιόρθωσις ἔχεται ἀκριβείας, ἢ δεῖται καὶ αὕτη ἑτέρας ἐπανορθώσεως, τὸν λόγον τρέψωμεν· πρὸς οὓς ῥητέον, ὅτι καίτοι

Ε.Ο.Δ. την Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὰ ὑπὸ τῶν νεωτέρων περίτε τῆς Ἰσημερίας, καὶ τῶν τῆς σελήνης κύκλων ἀστρονομούμενα προσεγγίζει τῇ ἀληθείᾳ, καὶ μᾶλλον συνῳδὰ, ἢ τὰ τῶν ἀρχαιοτέρων τοῖς Φαινομένοις εὑρίσκεται, οὐ μέντοιγε παντάπασιν ἔχεται ἀκριβείας, οὐδὲ ἐκτὸς ἀπάτης τὸ σύνολον ἡ ἐπιδιόρθωσις αὕτη καθέστηκεν· δύο γὰρ ὄσων τῶν ἐξισώσεων, τῆς μὲν ἡλιακῆς καθ᾽ ἑκάστην τετρακοσιαετηρίδα, ὡς εἴρηται, τῆς δὲ σεληνιακῆς καθ᾽ ἑκάστην τριακοσιαετηρίδα, οὐδετέρα τούτων τυγχάνει τοῦ ἀληθοῦς· διαῤῥήδην δὲ τοῦτο ἀποδεικνύντες κηρύττουσιν οἱ τῆς ἐπανορθώσεως ταύτης πατέρες ἐν τοῖς οἰκείοις περὶ τούτων συγγράμασι, καὶ οὐ δεῖται πολλῶν λόγων εἰς ἔλεγχον· αἴτιον δὲ ἡ περίτε τὴν ἡλιακὴν καὶ τὴν σεληνιακὴν φορὰν ἀοριστία· μήπω γὰρ ἐγνωσμένου ἀκριβῶς τοῦ μέτρου τῆς ἑκατέρου τῶν φωστήρων κινήσεως, οὐδὲ τὰς ἐξισώσεις αὐτῶν ἀκριβῶς γενέσθαι δυνατόν· ταῦτ᾽ ἄρα ἐν μέσῳ παρέντες τὸ ἐν τοσούτοις, ἢ τοσούτοις ἔτεσι χρῆναι τὰς ἐξισώσεις γίνεσθαι, καὶ τοῖς μεταγενεστέροις τῶν ἀστρονόμων τὴν περὶ τούτων ἀναθέντες ἀκριβεστέραν ἔρευναν, ὁμολογοῦσι μὴ εἶναι ἀκριβῆ τὴν ἐπανόρθωσιν, οὐ δυσχερὲς δὲ τοῦτο ἥγηνται, οὐδὲ πόνου πολλοῦ δεόμενον· εἰ γὰρ ποτὲ περὶ τὴν ἡλιακὴν κίνησιν δεήσῃ, διὰ πλεονασμὸν ἡμέρας, ἢ ἔλλειψιν, ἐπανορθώσεως, ἔξεστι προτιθέναι ταύτην ἐν ἰτῳ τῶν κοινῶν ἐτῶν, ἢ ἀφαιρεῖν ἔκτινος τῶν βισέξτων· εἰδὲ καὶ περὶ τὴν σεληνιακὴν ῥᾴδιον μεταβαίνειν ἀπὸ μιᾶς σειρᾶς ἐφ᾽ ἑτέραν τῶν ἐπακτῶν σειρὰν εἴτε ἀνωτέραν, εἴτε κατωτέραν,

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Γ. ... ΙΩΑΝΝΙΝΑ 2006

ὥςπερ ἂν ἡ χρεία ἀπαιτήσειε, καὶ ἡ σεληνιακὴ συμβαίη μετάβασις.

## Πρόβλημα ιζ΄.

*Τὴν τοῦ σωτηρίου Πάσχα ἡμέραν, καὶ τὰς τούτου ἐξημμένας ἑορτὰς εὑρεῖν κατὰ τοὺς ἀνατολικούς.*

Οἱ μὲν οὖν δυτικοὶ, δι' ὧν χρονολογικῶν συνεπήξαντο πινάκων, καὶ διὰ τῶν ἐν τούτοις τεταγμένων χαρακτήρων τῶν ἐπακτῶν, τήν τε ιδ΄. τῆς σελήνης, καὶ τὴν ἡμέραν τοῦ Πάσχα, καὶ τὰς τούτου ἐξημμένας κατ' αὐτοὺς ἑορτὰς θηρευέτωσαν, καὶ εἰ δοκεῖ, καὶ ἑορταζέτωσαν· ἡμῖν δὲ ἀνατολικοῖς ταῦτα γράφουσι, καὶ τὸ αἴτιον τῆς περὶ τὰς ἡμέρας διαφόρου ἀπαριθμήσεως κατάδηλον ποιῆσαι σπεύσασι, οὐκ ἄπο σκοποῦ ἂν εἴη περὶ τῆς εὑρέσεως τούτων κατὰ τοὺς ἀνατολικοὺς εἰπεῖν· καὶ γὰρ οὐδ' ἄλλης πραγματείας ἴδιον τὰ τοιαῦτα πολυπραγμονεῖν· εἰκὸς μενοῦν καὶ ἄλλας μεθόδους ὑπάρξαι τοῖς πάλαι πρὸς τοῦτο συντελοῦσας, καὶ εὐςόχως τοῦ σκοποῦ γινομένας ἐγκρατεῖς· ἀλλ' ὁ βαρὺς, οἴμοι, τῆς δουλείας ζυγὸς, καὶ ὁ ἀτερπὴς τῆς ἀπαιδευσίας χειμὼν, καὶ ὁ θεοστυγὴς τῶν μουσῶν διωγμὸς, καὶ ταῦτα ὑφ' ὧν ἔδει περιθάλπεσθαι ταύτας, καὶ περιέπεσθαι, οὐ γὰρ βούλομαι λευκότερον ὀνομῆναι αὐτοὺς, μετὰ τῶν ἄλλων τῆς τε Ἀσίας, καὶ τῆς κλεινῆς Ἑλλάδος καλῶν, μικροῦ δεῖν καὶ τὰς μεθόδους



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

ταύτας ἐξηφάνισαν· ὅσο δὲ ἔσα κἀμὲ εἰδέναι καὶ εἰς ἡμᾶς διεφοίτησαν. Θατέρα μὲν διά τινων κανονίων, οἷος ἐςὶ καὶ ὁ ἐνετίησι (β) ἐκτυπωθεὶς τροχὸς, ἡ δὲ λοιπὴ ἀριθμητικῶς ὁδεύουσα.

Ἀλλ' ἐπείπερ ὐκ ἔνι συςῆναι κανόνια ὕτως ἐντελῆτε, φημὶ, καὶ ἀκριβῆ, ὥςε κατὰ πάντα χρόνον τυγχάνειν τἀληθῦς, περὶ τῆς δευτέρας ἐρῦμεν· ὐ πάνυτοι ἐξυθενῦντες τὰ κανόνια, ἀλλὰ τὴν ἀριθμητικὴν ἔφοδον ὡς ἀσφαλεςέραν ἐγκρίνοντες.

Τῦ τοίνυν σωτηρίυ Πάσχα ὐχ ἁπλῶς λαμβανομένυ, ἀλλὰ σχέσει τῇ πρὸς τὸ νομικὸν, τύτυ δ' αὖ πρὸς τὴν ιδ΄. τῦ α΄. μηνὸς, πρῦργου ἂν εἴη τοῖς θηρωμένοις τὰ τοιαῦτα, ἡ τῆς ιδ΄. τοῦ α΄. μηνὸς εὕρεσις· ἥτις γένοιτ' ἂν ἀκριβὴς δὶ ἀςρονομικῆς θηρευομένη ψηφηφορίας, ἢ ἐξ ἀςρονομικῶν ἐφημερίδων ἀκριβῶς κατεσκευασμένων λαμβανομένη· εἴη δ' ἂν αὕτη ἡ μετὰ τὴν κα΄. Μαρτίυ κατὰ τὴν ἀπαρίθμησιν τῶν ἀνατολικῶν ὖσα, ἢ καὶ ταύτῃ συμπίπτυσα· ἐν γὰρ τῇ κα΄. Μαρτίου ἡ ἐαρινὴ Ἰσημερία ὑπὸ τῶν ἀνατολικῶν ὑποτίθεται (γ)· ταύτης ὖν τῆς ιδ΄. τῦ α΄. μηνὸς γνωσθείσης, εὐχερῶς καὶ τὸ σωτήριον Πάσχα ἐν ποίᾳ ἡμέρᾳ κατὰ τὰ παραδοθέντα ὑπὸ τῶν θείων Πατέρων ἑορτασθῆναι προσήκει γνωσθήσεται, καὶ αἱ τῶν τῦ Πάσχα ἐξημ-

---

(β) Κατὰ τὸ αψμς΄. ἔτος.

Ε.Υ.Δ της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

μένων ἑορτῶν ἡμέραι καταδηλοι ἔσονται· ἀπὸ γὰρ ταύτης τῆς ἡμέρας, ὥςπερ ἀπό τινος ἀφετηρίας ὁ βουλόμενος εὑρήσει τὰς ἑορτὰς, ὀπισθοδρομῶν μὲν τὰς πρὸ τοῦ Πάσχα, ἐπὶ δὲ τὰ πρόσω χωρῶν τὰς μετὰ τὸ Πάσχα, καὶ μὴν καὶ ὅσα ἄλλα τούτου ἐξήρτηται· οἷον ἐπὶ τοῦ ἐνεςῶτος ἔτους αψοέ. ἐπεὶ κατὰ τὰ Ὡρολόγια, καὶ Συνόψεις, καὶ τὰ ἀνὰ χεῖρας τῶν πολλῶν Καλενδάρια τῇ δωδεκάτῃ τοῦ Ἀπριλλίου τὸ ἅγιον Πάσχα ἑορτασθήσεται, ἔςαι καὶ τὰ ἑξῆς σημειούμενα τῇ πρώτῃ ὑποθέσει συνᾴδοντα, γενομένης ὡς εἴρηται τῆς ἐπαριθμήσεως· ἀπὸ γὰρ τῆς προηγουμένης ἡμέρας ἤτοι τῆς ια΄. Ἀπριλλίου πρὸς τὰ ἄνω ἡμέρας ἑβδομήκοντα, εἴτουν ἑβδομάδας δέκα ἀριθμήσας τις, ἐπεὶ ἡ ο΄. συμπίπτει τῇ α΄. Φευρουαρίου, κατὰ ταύτην εὑρήσει τὴν ἀρχὴν τοῦ τριωδίου· κατὰ δὲ τὴν ιε΄. τοῦ αὐτοῦ μηνὸς τὴν κυριακὴν τῆς ἀποκρέω, κατὰ δὲ τὴν κβ΄. τὴν τῆς τυροφάγου, καὶ κατὰ τὴν κγ΄. τὴν ἀρχὴν τῆς τεσσαρακοςῆς· ἀπὸ δὲ τῆς κβ΄. Φευρουαρίου, ὡς ἐπὶ τοῦ προκειμένου ὑποδείγματος τριάκοντα καὶ δύο ἡμερῶν ἀριθμουμένων, τοσαύτας γὰρ αἱ ἀπὸ τῆς κβ΄. Φευρουαρίου μετὰ τῶν 25, Μαρτίου συμπληροῦσιν, εἴτουν ἑβδομάδων τεσσάρων καὶ Ἰσαρίθμων ταύταις ἡμερῶν, καὶ τοσούτων οὐσῶν τῶν ἀπὸ τῆς κυριακῆς τῆς τυροφάγου μέχρι τῆς τετάρτης τῆς ε΄. ἑβδομάδος, ἤτοι ἑβδομάδων τεσσάρων καὶ ἡμερῶν τεσσάρων ἔςαι ἡ τοῦ εὐαγγελισμοῦ ἑορτὴ τῇ τετάρτῃ τῆς ε΄. ἑβδομάδος τῶν νηςειῶν.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Γ.Π.Π ΙΩΑΝΝΙΝΑ 2006

Τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τὰ κάτω εἴτις χωροίη· ἐπείπερ ἡ κα΄. Μαΐου, ἀπὸ τῆς ιβ΄. τοῦ Ἀπριλλίου τῆς ἀπαριθμήσεως γινομένης, εὑρίσκεται μ΄. ἡ δὲ λα΄. ν΄. ἡ δὲ ζ΄. Ἰουνίου, νζ΄. τῇ μὲν κα΄. Μαΐου ἡ ἑορτὴ τῆς ἀναλήψεως, τῇ δὲ λα΄. τοῦ αὐτοῦ ἡ τῆς πεντηκοστῆς, τῇ δὲ ζ΄. Ἰουνίου ἡ τῶν ἁγίων πάντων προσκληρωθήσεται.

Μεταξὺ δὲ τῆς ζ΄. Ἰουνίου, καὶ τῆς κθ΄. μιᾶς καὶ εἴκοσι ἡμερῶν περιεχομένων τοσαύταις ἡμέραις ἡ τῶν ἁγίων ἀποστόλων νηστεία προσδιορισθήσεται.

## (γ) Σχόλιον.

Ὅτι ὁ τῆς Ἰσημερίας ἀναποδισμὸς τοῖς τε πάλαι, καὶ νῦν ἀνατολικοῖς οὐκ ἠγνόηται, ἔξεστιν ἰδεῖν παρὰ Ματθαίῳ τῷ Βλασ. ἐν τῷ περὶ τοῦ Πάσχα φιλοπονήματι, κἀν τῷ Γρηγορᾷ καὶ ἄλλοις, ἐξ ὧν καὶ οἱ δυτικοὶ τὰς ἀφορμὰς εἰληφότες φαίνονται· ἐν δὲ τοῖς καθ᾽ ἡμᾶς χρόνοις καὶ ὑπ᾽ αὐτῆς μαρτυρεῖται τῆς αἰσθήσεως· ἀλλ᾽ οὐδεὶς οἶμαι τῶν νῦν ἐχόντων ἀλόγως ἂν αὐτοὺς αἰτιάσαιτο, ὡς παρορῶντας τοῦτον καὶ μὴ ἀνακρίνοντας, καὶ ταῦτα οὐ μικρὸν πρὸς εὕρεσιν τῆς τοῦ ἁγίου Πάσχα ἑορτῆς συμβαλλόμενον· μέγα γὰρ αὐτοῖς τοσοῦτον χρόνον ὑπὸ τὸν τῆς δουλείας τελοῦσι ζυγὸν καὶ τοῦ τῆς Ἰσημερίας ἐνίους ἐπαΐειν ὀνόματος, πολλοῦ γε καὶ δεῖ ὑψηλοτέρων ἅπτεσθαι ζητημάτων, πολλὴν μὲν οἴκοθεν ἐχόντων τὴν δυσχέρειαν, ἀστρονομικῆς δὲ ἐχο-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.τησΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένων θεωρίας, καὶ μαθηματικῆς ἀποδείξεως· ἢ συνόδους συγκροτεῖν, καὶ συνοδικῶς ἀνακρίνειν τὰ συνοδικῶς ἀνακριθησόμενα· ὅσοι δὲ τούτων ἀμαθῶς διισχυρίζονται, ὅτι ἀμετάπτωτος ἡ Ἰσημερία ἀπὸ τῆς κά. Μαρτίου, καὶ ὁ ἐπὶ ταύτης στηριγμὸς δόγμα συνοδικὸν, καὶ πατρικὸν ἀπαράβατον παραιτητέοι, ὡς οὐδὲν ὑγιὲς λέγοντες· οὐ γὰρ ἀστρονομικῶν ἕνεκεν ζητημάτων οἱ θεσπέσιοι ἐκεῖνοι πατέρες ἐν Νικαίᾳ συνήχθησαν· ἀλλὰ κατὰ τοῦ ἀδικίαν εἰς ὕψος λαλήσαντος, καὶ κατὰ τῆς τοῦ σωτῆρος ποίμνης λυττήσαντος εὐσεβοφρόνως συνέδραμον.

Καὶ δὴ τὰ περὶ τοῦ θείου λόγου λίαν εὐσεβῶς δογματίσαντες, ἵνα καὶ τὴν ἐν τῇ ἐκκλησίᾳ ἀναφυεῖσαν διαφωνίαν πρόῤῥιζον ἐκτέμωσι, καὶ συμφωνίαν κἂν τούτῳ τῷ τῆς ἐκκλησίας πληρώματι βραβεύσωσι, τῇ μετὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ πρώτου μηνὸς κυριακῇ τὴν πάνσεπτον ταύτην ἐθέσπισαν τελεῖσθαι ἑορτὴν, ἀποστολικαῖς ἑπόμενοι παραδόσεσι, καὶ ταῖς μωσαϊκαῖς περὶ τοῦ ά. μηνὸς στοιχοῦντες διαταγαῖς· κατὰ δὲ Μωσῆν, καὶ τοὺς τὰ ἐκείνου συνιέντας καλῶς, πρῶτος μήν ἐστιν, οὗ ἡ ιδ΄. τῇ Ἰσημερινῇ συμπίπτει ἡμέρα, ἢ ταύτῃ ἕπεται, ἥτις ποτ᾽ ἂν ᾖ, οὐχὶ δ᾽ ὡρισμένως ἡ εἰκοστὴ πρώτη τοῦ Μαρτίου μηνός· καὶ ὑπ᾽ οὐδενὸς τῶν θείων πατέρων Ἰσημερινὴ αὕτη ἡ ἡμέρα ἀπαραβάτως διώρισται, ἀλλ᾽ εἴληπται τότε τοιαύτη, ὡς ἐν τοῖς τότε χρόνοις ἐν αὐτῇ τοῦ ἡλίου τὸ ἐαρινὸν σημεῖον διιππεύοντος.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

# Πρόβλημα. ιή.

Τῆς ἡμέρας τοῦ τριῳδίου δοθείσης, τὸ ἑωθινὸν Εὐαγγέλιον, καὶ τὸν ἦχον τοῦ τριῳδίου εὑρεῖν.

Εὑρεθήτωσαν α΄. αἱ ἀπὸ τῆς κυριακῆς τῶν ἁγίων πάντων τοῦ προηγησαμένου ἔτους ἡμέραι ἄχρι τῆς τοῦ τριῳδίου κυριακῆς τοῦ ἐνισαμένου ἔτους, καὶ ὁ τούτων ἀριθμὸς διαιρεθήτω ἐπὶ τὸν ἑπτὰ ἀριθμὸν, ἵνα γνωσθῇ ὁ τῶν ἑβδομάδων ἀριθμὸς, οὗ πάλιν ἐπὶ τὸν ἕνδεκα διαιρημένου γινώσκεται τὸ ἑωθινόν· ἐὰν γὰρ ἤτοι οὐδὲν, ἢ μονὰς ἐναπολειφθῇ ἐπὶ τῆς διαιρέσεως, ἔσαι α΄. ἑωθινόν· εἰδὲ ἐναπολειφθῇ ἄλλος τις τῶν ἀριθμῶν, αὐτὸς ἔσαι τοῦ ζητουμένου ἑωθινοῦ Εὐαγγελίου παρασατικὸς οἷον ὁ 2, τοῦ β΄. ὁ ὁ 3 τοῦ γ΄. καὶ ἐφεξῆς ἀναλόγως.

Β΄. [Εὑ]ρεθήτωσαν αἱ ἀπὸ τῆς κυριακῆς, τῆς μετὰ τὴν τῶν ἁγίων πάντων, ἡμέραι ἄχρι τῆς τοῦ τριῳδίου, καὶ ὁ τούτων ἀριθμὸς διαιρεθήτω ἐπὶ τὸν ἑπτὰ, τὸ δὲ πηλίκον ἐπὶ τὸν ὀκτὼ, καὶ ἔσαι ὁ ἦχος κατάδηλος· ἐὰν γὰρ ἤτοι μηδὲν, ἢ μονὰς ἐναπολειφθῇ, ἔσαι ἦχος α΄. εἰδὲ ἄλλος τις τῶν ἀριθμῶν τοῦ ἤχου ἔσαι σημαντικός· ἐπεὶ τῇ τῶν ἁγίων πάντων κυριακῇ, ἑωθινὸν μὲν α΄. ἦχος δὲ πλ. δ΄. ἀεὶ προτωκείωται· οἷον ἐπὶ τοῦ αὐτοῦ ἔτους αψοε΄. ἐν ᾧ ἄρχεται τὸ τριῴδιον Φευρουαρίου α΄. ἔσαι ἑωθινὸν α΄. καὶ ἦχος α΄. ἀπὸ γὰρ τῆς ιέ. Ἰουνίου, ἤτοι τῆς κυ-

ριακῆς τῶν ἁγίων πάντων τȣ͂ προηγησαμένου ἔτους ͵αψοδʹ. μέχρι τῆς αʹ. Φευρουαρίου τριάκοντα καὶ μιᾶς ἡμερῶν πρὸς ταῖς διακοσίαις ἀριθμȣμένων, ϗ τȣ͂ ἀριθμȣ͂ τȣ́των ἐπὶ τὸν ἑπτὰ διαιρȣμένου, τοῦ δὲ πηλίκȣ ἤτοι τοῦ 33, τοῦ ἑβδομάδων παραςατικοῦ ἐπὶ τὸν 11, τὸν τῶν ἑωθινῶν, ἐπεὶ ȣ̓δέν τι ἐναπολείπεται συνάγεται αʹ. εἶναι τὸ ζητȣ́μενον ἑωθινόν.

Ὡσαύτως ἀπὸ τῆς κβʹ. Ἰαν. μέχρι τῆς αʹ. Φευρουαρίου διακοσίων εἴκοσι ϗ τεσσάρων ἡμερῶν ἀριθμȣμένων, ἤτοι ἑβδομάδων δύο ϗ τριάκοντα, ϗ τȣ͂ ἀριθμȣ͂ τȣ́των ἐπὶ τὸν ὀκτὼ διαιρȣμένου, ἐπεὶ ὁμοίως ȣ̓δέν τι ἐναπολείπεται ἔςαι ἦχος αʹ. καταμετρεῖ γὰρ ἐνταῦθα ὁ ἕνδεκα τὸν 33, ὥσπερ ϗ ὁ ὀκτὼ τὸν 32.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΒΙΒΛΙΟΝ Δ.

## Περὶ Ἐποχῶν.

### Περὶ τῆς ἀπὸ κτίσεως κόσμου ἀπαριθμήσεως τῶν ἐτῶν κατὰ Βυζαντίους.

Πρώτη πασῶν τῶν ἄλλων ἐποχῶν νομίζεται, ἡ τῇ ἀρχῇ τῆς τοῦ παντὸς συστάσεως συμπίπτουσα· ἐξ ἧς τὰ ἔτη ἀριθμούμενα, ἀπὸ κτίσεως κόσμου, ἢ ἀπὸ Ἀδὰμ λέγεται· ἀλλ᾽ οὐ μικρὰ περὶ ταύτης τοῖς χρονολογοῦσιν ἡ διαφωνία ὑπάρχει, οὐ μόνον πρὸς Ἰουδαίους, ἀλλὰ καὶ πρὸς ἀλλήλους τῶν χριστιανῶν διαφωνούντων· πειρατέον ἡμῖν ὡς ἔνι συντετμημένως τὰς ἀξιολογωτέρας ἐκθέσθαι δόξας, καὶ τῇ Ἰουλιανῇ περιόδῳ παραβλητέον, ὡς ἔθος τοῖς νῦν τὰ χρονολογικὰ πραγματευομένοις.

## Α΄. Δόξα.

### Κατὰ Βυζαντίους.

Κατὰ μὲν οὖν τὴν πρώτην δόξαν, ἐκ καλενδῶν
Σεπτεμβρίων λαμβανομένης τῆς ἀρχῆς, ἀριθμοῦνται
ἀπὸ κτίσεως κόσμου ἄχρι τῆς Ἰουλιανῆς περιόδου ἔτη
795. ἐννενήκοντα πέντε πρὸς τοῖς ἑπτακοσίοις· ἄχρι δὲ τῆς
Σωτηρίου ἐποχῆς ὀκτὼ πρὸς τοῖς πεντακισχιλίοις καὶ
5508. πεντακοσίοις· ταύτην οἱ νεώτεροι καλοῦσιν ἐποχὴν πο-
λιτικὴν τῶν Γραικῶν, ἢ Βυζαντινήν· ὅτι δὲ οὐκ ἔ-
στιν ἐποχὴ κυρίως αὕτη, ἀλλὰ μᾶλλον περίοδος τεχ-

ΙΩΑΝΝΙΝΑ 2006

νικὴ εἴρηται πρότερον· καὶ κατὰ ταύτην οἱ τὰ σκῆπτρα τῆς νέας Ῥώμης κατεσχηκότες τὰ ἔτη ἐσήμαινον, ὡς ἔςιν ἰδεῖν ἐν ἄλλοις τε, καὶ ἐν τῷ τόμῳ τῆς ἑνώσεως, τῷ γενομένῳ ἐπὶ Κωνςαντίνε καὶ Ῥωμανε·
„ καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει,
„ ἀπό γε τε παρόντος ἔτες. ὅ ἐςιν ἑξάκις χιλιοςὸν,
„ τετρακοσιοςὸν εἰκοςὸν ὄγδοον, ἐπινεμήσεως ὀγ-
„ δόης. τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶ-
„ ναι ἀπόβλητον παντελῶς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ

## Πόρισμα. Α'.

Ἐξ ὧν συνάγεται α'. ὡς εἴγε, τε ἀπὸ κτίσεως κόσμε, κατὰ τὴν ἀνωτέρω δόξαν δοθέντος, ἀφαιρεθῇ ὁ 795, ὁ ἐναπολειφθεὶς ἀριθμὸς τῶν τῆς Ἰελιανῆς περιόδε ἐτῶν ἔςαι παραςατικός· εἰδὲ προςεθῇ τέτοις τῶν ἀπὸ κτίσεως κόσμε, κατὰ τὴν δόξαν ταύτην· οἷον τε παρόντος ἔτες ὅ ἐςιν ἀπὸ τῆς Σωτηρίε ἐποχῆς χιλιοςὸν ἑπτακοσιοςὸν ἑβδομηκοςὸν πέμπτον, ἀπὸ δὲ κτίσεως κόσμε ἑπτακισχιλιοςε διακοσιοςε ὀγδοηκοςε τρίτε λογιζομένε, εἴτις ἀφέλῃ τὸν 795 ἀπὸ τοῦ 7283, ὁ ἐναπολειπόμενος ἀριθμὸς 6488 τῶν τῆς Ἰελιανῆς περιόδου ἐτῶν ἔςαι δηλωτικός· τετέςι τὸ 7283 τῆς ἐποχῆς 6488 ἔςαι τῆς Ἰελιανῆς περιόδε.

## Πόρισμα. Β'.

Β'. Ὅτι ἐπεὶ τὸ ἀπὸ κτίσεως κόσμε πεντακισχιλιοςὸν πεντακοσιοςὸν ἔνατον σύνδρομον ἐςὶ τῷ 550

Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Σωτηρίῳ ἐποχῇ. δοθέντος τοῦ ἀπὸ κτίσεως κόσμου ἔτους, ἐάν τις ἀφέλῃ τὸν 5508 ἀριθμὸν, ἕξει τὰ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς, ἐὰν δὲ τούτοις προσθείη τὸν αὐτὸν ἀριθμὸν, τὰ ἀπὸ κτίσεως κόσμου· οὕτως εὑρίσκεται τὸ μὲν ἑπτακισχιλιοστὸν διακοσιοστὸν ὀγδοηκοστὸν τρίτον ἔτος τῆς ἐποχῆς εἶναι χιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν πέμπτον ἀφαιρουμένου δηλ. τοῦ 5508 ἀπὸ τοῦ 7283, τὸ δὲ παρὸν ἔτος εἶναι ἀπὸ κτίσεως κόσμου ἑπτακισχιλιοστὸν διακοσιοστὸν ὀγδοηκοστὸν τρίτον προστιθεμένου τοῦ 5508 τῷ 1775.

## Β΄. Δόξα.

### Κατὰ τοὺς Ἱστορικοὺς Ἕλληνας.

Κατὰ τὴν β΄. δόξαν ἀριθμοῦνται ἀπὸ κτίσεως κόσμου, ἄχρι μὲν τῆς Ἰουλιανῆς περιόδου ἔτη ὀγδοή-
787. κοντα καὶ ἑπτὰ πρὸς τοῖς ἑπτακοσίοις· ἄχρι δὲ τῆς
5500. Σωτηρίου ἐποχῆς πεντακόσια πρὸς τοῖς πεντακισχιλίοις· ταύτης τῆς δόξης πατὴρ ὁ Ἀφρικανὸς, ᾧ παρακολουθοῦσι Νικηφόρος ὁ πατριάρχης, καὶ Γεώργιος Μοναχός· αὕτη ὑπὸ τῶν νεωτέρων καλεῖται Αἰθιοπική, κοινότερον μέντοι ἐποχὴ ἱστορικὴ τῶν Γραικῶν λειπομένη τῆς πολιτικῆς ὀκτὼ ἔτεσι.

## Πόρισμα.

Ἐκ τούτων ἕπεται ὅτι προστιθεμένου τὸν 787 τοῖς δοθεῖσιν ἔτεσι τῆς Ἰουλιανῆς περιόδου, εὑρεθείη

ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἂν τὰ ἀπὸ κτίσεως κόσμου ἔτη κατὰ Ἀφρικανὸν, καὶ ἀφαιρεθέντος τοῦ ἀριθμοῦ τούτου ἀπὸ τῶν ἀπὸ κτίσεως κόσμου; γνωσθείη ἂν τὰ τῆς Ἰουλιανῆς περιόδου· ἐπεὶ δὲ τὸ ἀπ᾽ αὐτῆς πεντακισχιλιοστὸν πεντακοσιοστὸν συμπίπτει τῷ ἔτει τῆς θείας σαρκώσεως, ῥᾳδίως ἄντις ἀγάγοι τὰ ἀπ᾽ αὐτῆς ἔτη εἰς τὰ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς, καὶ τοὔμπαλιν.

## Γ΄. Δόξα.

### Κατὰ Ἀλεξανδρεῖς.

Ἡ δὲ τρίτη δόξα, ἥτις φέρεται ἐπὶ Πανόδωρον Μοναχὸν τὴν κθ΄. τοῦ Αὐγούστου μηνὸς ποιοῦσα ἀρχὴν, τὸ μὲν ἀπὸ κτίσεως κόσμου ἑπτακοσιοστὸν ὀγδοη- 781.
κοστὸν πρῶτον τῷ α΄. τῆς Ἰουλιανῆς περιόδου λογίζεται σύνδρομον, τὸ δὲ πεντακισχιλιοστὸν τετρακοσιοστὸν ἐννενηκοστὸν τρίτον τῷ τῆς θείας σαρκώσεως· ἐπεὶ δὲ 5493.
ταύτην ἐπρέσβευον οἱ Ἀλεξανδρεῖς καὶ Ἀντιοχεῖς, διά τοι τοῦτο Ἀλεξανδρικὴ, ἢ Ἀντιοχικὴ τοῖς νεωτέροις λέγεται.

## Πόρισμα.

Ἐκ τούτου συνάγεται α΄. ὅτι προστιθεμένου τοῦ 5493 ἀριθμοῦ τοῖς ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτεσιν, ὁ ἐξ αὐτῶν συγκείμενος ἀριθμὸς τὰ ἀπὸ κτίσεως κόσμου ἔτη κατὰ Ἀλεξανδρεῖς παρίστησιν· οἷον τὸ παρὸν ἔτος ἔσται κατὰ τοὺς Ἀλεξανδρεῖς ἑπτακισχι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΝΣΑ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

λιοστὸν διακοσιοστὸν ἑξηκοστὸν ὄγδοον συναφθέντος τοῦ 1775 τῷ 5493.

Β΄. ἀφαιρουμένου τοῦ αὐτοῦ ἀριθμοῦ ἀπὸ τῶν ἀπὸ κτίσεως κόσμου ἐτῶν κατ᾽ αὐτοὺς ὁ ἐναπολειφθεὶς ἀριθμὸς τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν ἐστι δηλωτικός.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Δ΄. Δόξα.

### Κατὰ δυτικούς.

Οἱ δὲ δυτικοὶ οὐ μιᾷ τινὶ ἀπαριθμήσει κέχρηνται τῶν ἀπὸ κτίσεως κόσμου ἐτῶν· οἱ μὲν γὰρ ἀριθμοῦσιν ἔτη ἄχρι τῆς Σωτηρίου ἐποχῆς τετρακισχίλια, οἱ δὲ πλείω, οἱ δὲ ἐλάττω· κατὰ μέντοι τὴν κοινοτέραν αὐτῶν δόξαν τέτταρα πρὸς τοῖς τετρακισχιλίοις ἀριθμοῦνται ἀπὸ κτίσεως κόσμου μέχρι τῆς Σωτηρίου ἐποχῆς· ὥστε, τὸ παρὸν ἔτος τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν πέμπτον, εἶναι κατ᾽ αὐτοὺς τῶν ἀπὸ κτίσεως κόσμου πεντακισχιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν ἔνατον.

## Ε΄. Δόξα.

Πολλαῖς οἱ Ἰουδαῖοι κέχρηνται ἐποχαῖς· ἢ γὰρ ἀπὸ κτίσεως κόσμου, ἢ ἀπὸ τοῦ κατακλυσμοῦ, ἢ ἀπὸ τῆς πυργοποιΐας, εἴτουν διανομῆς τῶν γλωσσῶν, ἢ ἀπὸ τῆς εἰς Αἴγυπτον καθόδου, ἢ ἀπὸ τῆς ἐκεῖθεν ἐξόδου, ἢ ἀπ᾽ ἄλλου τινὸς τῶν ἐπισήμων, ἀριθμοῦσι

Ε.Χ.Δ. τμ. Φ.Π.Ψ. ΙΩΑΝΝΙΝΑ 2006

τὰ ἔτη· ἣ δὲ ἐν τοῖς καθ' ἡμᾶς κέχρηνται χρόνοις ἀπὸ κτίσεως κόσμου ἐστὶν, ἥτις σύνδρομος ὑπάρχει τῷ ἐννακοσιοστῷ πεντηκοστῷ τρίτῳ ἔτει τῆς Ἰουλιανῆς περιόδου συμπίπτουσα τῇ ἑβδόμῃ τοῦ Ὀκτωβρίου μηνὸς, καθ' ἣν ἀριθμοῦνται μέχρι τῆς Σωτηρίου ἐποχῆς ἑπτακόσια καὶ ἑξήκοντα ἓν πρὸς τοῖς τρισχιλίοις· ἐπεὶ γὰρ ἄχρι τῆς Σωτηρίου ἐποχῆς εἰσὶν ἔτη τῆς Ἰουλιανῆς περιόδου 4713, ἀφαιρουμένου ἐκ τούτου τοῦ 952, λείπεται ὁ 3761, ὥστε τῷ τρισχιλιοστῷ ἑπτακοσιοστῷ ἑξηκοστῷ πρώτῳ κατὰ Ἰουδαίους, ἐνηνθρώπησεν ὁ κύριος.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ

## Πορίσματα.

Ἐξ ὧν συνάγεται α΄. ὅτι δοθέντος τοῦ ἔτους τῆς Ἰουλιανῆς περιόδου, καὶ τοῦ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς, καὶ τούτῳ μὲν προστιθεμένου τοῦ 3761 ἀριθμοῦ, ἐξ ἐκείνου δὲ ἀφαιρουμένου τοῦ 952, ὁ ἐξαχθεὶς ἀριθμὸς τοῦ ἀπὸ κτίσεως κόσμου ἔτους κατὰ Ἰουδαίους ἔσται δηλωτικός· οἷον δεδόσθω ἔτος μὲν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς τὸ ἐνεστὸς 1775, καὶ προστεθήτω τούτῳ ὁ 6761, τῆς δὲ Ἰουλιανῆς περιόδου ἔτος τὸ 6488, καὶ ἀφαιρεθήτω ἀπ' αὐτοῦ ὁ 952, ἑκατέρωθεν ἐξάγεται ὁ 5536, τοῦ ἀπὸ κτίσεως κόσμου κατὰ Ἰουδαίους παραστατικὸς ἐκ τοῦ Ὀκτωβρίου μηνὸς ἀρξομένου, εἴγε τὸ ζήτημα πρὸ τούτου προτίθεται. εἰ γὰρ τοῦ 1775 τῷ 3661, συναπτομένου, ὁ 5536 παράγεται ἀριθμὸς, ἐπεὶ μέντοιγε πρὸ τοῦ Ὀκτωβρίου ἡ πρᾶξις γίνεται,

Ε.Σ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρόδηλον ὅτι οὔπω τὸ κατὰ Ἰουδαίους ἤρξατο πενταкισχιλιοστὸν πεντακοσιοστὸν τριακοστὸν ἕκτον ἔτος, ἀλλ' ἔτι τὸ πρὸ αὐτοῦ ἐνέστηκεν.

Β'. Ὅτι τοῦ ἀπὸ κτίσεως κατὰ Ἰουδαίους δοθέντος ἔτους, κἂν τούτου τοῦ 3761 ἀφαιρεθέντος, ὁ ἐναπολειφθεὶς ἀριθμὸς τὸ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς παραστήσει ἔτος, ἐν ᾧ κατὰ τὸν Ὀκτώβριον μῆνα τὸ Ἰουδαϊκὸν ἄρχεται· οἷον ἔσω τὸ ἐνεστὸς ἔτος κατὰ Ἰουδαίους πεντακισχιλιοστὸν πεντακοσιοστὸν τριακοστὸν πέμπτον, καὶ ἐπεὶ ἀφαιρουμένου τοῦ 3761 ἐκ τοῦ 5535, ἐναπολείπεται ὁ 1774, πρόδηλον ὅτι τὸ δοθὲν κατὰ Ἰουδαίους ἔτος ἐν τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ἑβδομηκοστοῦ τετάρτου ἔτους τῆς Σωτηρίου ἐποχῆς ἤρξατο.

## Περὶ Ὀλυμπιάδων.

*Διάσημος* τοῖς πάλαι ἡ τῶν Ὀλυμπιάδων ἐποχὴ ἐκ τῆς προσεχοῦς νουμηνίας τῇ θερινῇ τροπῇ ἀρχομένων, σύνδρομος οὖσα τῷ τρισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ ὀγδόῳ ἔτει τῆς Ἰουλιανῆς περιόδου· τῷ δὲ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἑπτακοσιοστῷ ἑβδομηκοστῷ ἕκτῳ· ἔστι δὲ Ὀλυμπιὰς τετραετηρίς, εἴτουν σύστημα τεττάρων ἐτῶν ἀπὸ Ὀλυμπίας πόλεως τῆς ἐν Πελοπονήσῳ Ἠλείων ἐπαρχίας τὴν προσηγορίαν λαχοῦσα· πρῶτος γὰρ Ἡρακλῆς οὐχ ὁ Ἀλκμήνης καὶ Διός, ἀλλ' εἷς τῶν Ἰδαίων δακτύλων ἐν αὐτῇ τοὺς ὀλυμπιακοὺς συνεστήσατο ἀγῶνας, καὶ μετ' αὐτὸν Ἴφιτος

ὁ τῶν Ἠλείων βασιλεὺς ἀνὰ τετραετίαν ἑκάστην, τοὐτέστι πληρωθέντων τῶν τεσσάρων καὶ ἀρχομένου τοῦ πέμπτου τελεῖσθαι τοὺς ἀγῶνας διετάξαντο· περὶ ὧν „ φησὶ καὶ Πίνδαρος ὁ ποιητής· οὔτ' ὀλυμπίας φέρτε„ ρον ἀγῶνα αὐδάσομεν· ταύταις οὖν οἱ πάλαι τῶν Ἑλλήνων ἠρίθμουν τὰ ἔτη καὶ ἀπ' ἀλλήλων διέστελλον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πρόβλημα ιθ'.

Ὀλυμπιάδος καὶ τῶν κατ' αὐτὴν ἐτῶν δοθέντων, εἰς τὰ ἀπὸ τῆς Σωτηρίου, ἢ τὰ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἔτη ἀγαγεῖν, καὶ ἀνάπαλιν.

Ἀπὸ τοῦ σημαντικοῦ ἀριθμοῦ τῆς δοθείσης Ὀλυμπιάδος μονάδος ἀφαιρεθείσης, ὁ ἐναπολειφθεὶς ἀριθμὸς πολλαπλασιασθήτω ἐπὶ τὸν 4, καὶ τῷ γινομένῳ συναφθήτωσαν τὰ προσκείμενα ταύτῃ ἔτη, εἴγε τύχωσιν ὄντα, τοῦ δὲ ἐξ ἀμφοῖν ἀφαιρεθήτω ὁ 776, ἀριθμὸς, τοσούτοις γὰρ ἔτεσι προλαβεῖν τὰς ὀλυμπιάδας εἴρηται τὴν Σωτήριον ἐποχὴν, καὶ ὁ λειπόμενος ἀριθμὸς τῶν ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἐτῶν ἔσται παρασατικός· εἰδὲ ἐλάττων ὑπάρχει τοῦ 776, ὁ ἀριθμὸς ἀφαιρεθήτω ἀπὸ τοῦ 776, καὶ παρέξει σοι τὰ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἔτη.

Ἔστω τοῦ α'. ὑπόδειγμα ὃ φησὶν ὁ Τερτυλλιανός· „ τῷ δ' ἔτει τῆς σβ'. ὀλυμπιάδος ἐγένετο ἔκλειψις „ ἡλίου μεγίστη τῶν ἐγνωρισμένων πρότερον, καὶ νὺξ „ ὥρᾳ ς'. τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν

Β.Γ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

„ ὀρανῷ φανῆναι· τῷ β΄. ὅ φησιν Ἰώσηπος· Ἀλεξάνδρου δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης ὀλυμπιάδος, ἤτοι τῷ α΄. ταύτης ἔτει.

Εὑρεθήσεται τοίνυν τὸ μὲν τῆς ἐκλείψεως ἔτος σύνδρομον τῷ τριακοσῷ δευτέρῳ ἀπὸ τῆς Σωτηρίου ἐποχῆς, τὸ δὲ τῆς τοῦ Ἀλεξάνδρου τελευτῆς τῷ πρὸ ταύτης τριακοσιοσῷ εἰκοσῷ τετάρτῳ, τῷ μετ᾽ ἀκριβείας τὸν εἰρημένον τρόπον ἐπιλογιζομένῳ.

Ἀνάπαλιν δὲ διδομένων τῶν πρὸ τῆς Σωτηρίου ἐποχῆς, ἢ τῶν ἀπ᾽ αὐτῆς ἐτῶν, τὰ μὲν πρὸ ταύτης ἀφαιρεθήτωσαν ἀπὸ τοῦ 776, τοῖς δὲ ἀπ᾽ αὐτῆς προσκείσθω ὁ αὐτὸς ἀριθμὸς, εἶτα ὁ λειπόμενος διὰ τῆς Ἀφαιρέσεως, ἢ ὁ συναγόμενος διὰ τῆς Συνάψεως ἀριθμὸς διαιρεθήτω ἐπὶ τὸν 4, τῷ δὲ πηλίκῳ προσκείσθω μονὰς, ἥτις ὀλυμπιάδος ἐστὶ σημαντική· ὡσαύτως καὶ τῷ ἐναπολειπομένῳ ἀριθμῷ καὶ γενήσεται ὁ μὲν ἐκ τοῦ πηλίκου καὶ τῆς μονάδος τῆς ὀλυμπιάδος, ὁ δὲ ἐκ τοῦ ἀριθμοῦ καὶ τῆς μονάδος τῶν ἐτῶν ταύτης παραστατικός· προστίθεται δὲ τῷ ἐναπολειπομένῳ ἀριθμῷ διὰ τῆς διαιρέσεως μονὰς σημαντικῷ ὄντι τῶν ἐτῶν· ὅτι ἐὰν π. χ. ἐναπολειφθῇ ὁ 2. τοῦ β΄. ἔτους ἔσται παραστατικὸς ἄνευ προσθήκης τῆς μονάδος· τὸ μέντοι ἔτος ἔσται τρίτον, καὶ γὰρ ἡ ἀρχὴ τῆς ἀπαριθμήσεως τῶν ἐτῶν λαμβάνεται ἐκ τῆς ἀρχῆς τῆς ὀλυμπιάδος, ἧς εἰσὶ ταῦτα ἔτη· τοῦτον τὸν τρόπον ἐπὶ τῶν ἀνω-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

τέρω ὑποδειγμάτων εὑρίσκεται τὸ μὲν πρὸ τῆς Σωτηρίου ἐποχῆς τριακοσὸν εἰκοσὸν τέταρτον εἶναι πρῶτον ἔτος τῆς ἑκατοσῆς τεσσαρακαιδεκάτης ὀλυμπιάδος, τὸ δὲ ἀπ' αὐτῆς τριακοσὸν δεύτερον, τέταρτον τῆς διακοσῆς δευτέρας.

## Περὶ τῶν ἀπὸ κτίσεως τῆς πρεσβυτέρας Ῥώμης ἐτῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἡ ἀπὸ κτίσεως Ῥώμης ἐποχὴ διττὴ ὖσα ἡ μὲν Βαρονιάνα, ἡ δὲ Καπιτολίνα λέγεται· ὑπάρχει δὲ ἑκατέρα σύνδρομος τῇ κα΄. τοῦ Ἀπριλλίου μηνός· πλὴν ὅτι ἡ μὲν Βαρονιάνα τὸ τρισχιλιοσὸν ἐννακοσιοσὸν ἑξηκοσὸν πρῶτον προσῳκείωται ἔτος τῆς Ἰουλιανῆς περιόδȣ, ἡ δὲ Καπιτολίνα τὸ ἐφεξῆς ἐκείνῳ· ἔνθεν τοι ἡ μὲν ἔσχηκεν ἡλίου κύκλȣς ιγ΄. σελήνης κύκλους θ΄. ἰνδικτιόνα α΄. ἡ δὲ ἡλίου ιδ΄. σελήνης ι΄. ἰνδικτιόνα β΄.

## Πορίσματα.

Ἐξ ὧν ἕπεται· α΄. ὅτι εἴγε προσθείη τις τοῖς ἀπὸ κτίσεως Ῥώμης ἔτεσι τὸν 3960 ἀριθμὸν, κατὰ τὴν α΄. δόξαν, ἢ τὸν 3961, κατὰ τὴν β΄. ἕξει τὰ τῆς Ἰουλιανῆς περιόδου ἔτη· ἔμπαλιν δὲ ἀπὸ τῶν τῆς Ἰουλιανῆς περιόδου ἐτῶν, ὁπότερον βουληθείη τις τῶν ἀριθμῶν τȣ́των ἀφελὼν, τὰ ἀπὸ κτίσεως Ῥώμης εὑρήσει καθ' ἑκατέραν δόξαν.

Ε.Υ.Δ. ... Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Β΄. Ἐπεὶ ἡ σωτήριος ἐποχὴ σύνδρομος ἐςὶ τῷ τετρακισχιλιοςῷ ἑπτακοσιοςῷ δεκάτῳ τετάρτῳ ἔτει τῆς Ἰουλιανῆς περιόδου, πρόδηλον ὅτι τῷ αὐτῷ τούτῳ ἔτει σύνδρομον ἐςὶ κατὰ μὲν τὴν α΄. δόξαν τὸ ἀπὸ κτίσεως Ῥώμης ἑπτακοσιοςὸν πεντηκοςὸν τέταρτον, κατὰ δὲ τὴν β΄. τὸ πρὸ αὐτοῦ.

Γ΄. Τῶν ἀπὸ κτίσεως Ῥώμης ἐτῶν ἐλαττόνων ὄντων τοῦ 754, ἢ 753 ἀριθμοῦ, κἀκ τούτων ἀφαιρουμένων ἐκείνων χωρὶς, τὰ πρὸ τῆς Σωτηρίου ἐποχῆς γνωσθήσονται ἔτη καθ᾿ ἑκατέραν δόξαν.

δ΄. Τοῖς ἀπὸ τῆς Σωτηρίου ἐποχῆς ἔτεσιν ἐὰν προστεθῇ ὁ 753, ἢ ὁ 752, ὁ ἐξ αὐτῶν ἀριθμὸς τῶν ἀπὸ κτίσεως Ῥώμης ἐτῶν ἔςαι δηλωτικός· οἷον τὸ ἐνεςὸς ἔτος ͵αψοε΄. ὑπάρχει ὡς ὁ Βάρων πρεσβεύει δισχιλιοςὸν πεντακοσιοςὸν εἰκοςὸν ὄγδοον ἀπὸ κτίσεως Ῥώμης.

## Περὶ τῶν ἀπὸ Ναβονασάρου βασιλέως βαβυλῶνος ἐτῶν.

Ἡ τοῦ Ναβονασάρου ἐποχὴ (α) συμπίπτει τῇ
3967. κς΄. τοῦ Φευρουαρίου μηνὸς τοῦ τρισχιλιοςοῦ ἐννα-

---

(α) Αὕτη ἐγκρίνεται ὑπὸ πολλῶν διὰ τὸ κατ᾿ αὐτὴν ὑπὸ τοῦ Πτολεμαίου γενέσθαι πολλὰς ἀςρονομικὰς παρατηρήσεις.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Αντης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κοσιοςοῦ ἑξηκοςοῦ ἑβδόμου ἔτους τῆς Ἰουλιανῆς περιόδου, τοῦ δὲ πρὸ τῆς Σωτηρίου ἐποχῆς ἑπτακοσιοςοῦ τεσσαρακοςοῦ ἑβδόμου ἔχοντος ἡλίου 747. μὲν κύκλους ιθ΄. σελήνης δὲ ιε΄. Ἰνδικτιόνα δὲ ζ΄.

## Πρόβλημα. κ΄.

Τοῦ ἀπὸ Ναβονασάρου δοθέντος ἔτους, εὑρεῖν τὸ ἔτος τῆς Ἰουλιανῆς περιόδου, οὗ διεξοδευομένου ἐκεῖνο ἤρξατο, ἔτι δὲ καὶ τὴν ἡμέραν ἐξ ἧς ἤρξατο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΟΣΙΟΣ

Εἰ μὲν τὸ δοθὲν ἔτος οὐχ ὑπερέχει τοῦ 227 ἀριθμοῦ, προσιθέναι τούτῳ δέον τὸν 3966, εἰδὲ ὑπερέχει, ἀπὸ μὲν τοῦ διακοσιοςοῦ εἰκοςοῦ ὀγδόου ἔτους ἄχρι τοῦ χιλιοςοῦ ἑξακοσιοςοῦ ὀγδοηκοςοῦ ὀγδόου προσθήσεις τὸν 3965, ἀπὸ δὲ τούτου ἄχρι τοῦ τρισχιλιοςοῦ ἑκατοςοῦ τεσσαρακοςοῦ ἐννάτου τὸν 3964, καὶ οἱ συμποσούμενοι ἀριθμοὶ τῶν τῆς Ἰουλιανῆς περιόδου ἐτῶν ἔσονται δηλωτικοί· οἷον εἰπεῖν τὸ μὲν ἀπὸ Ναβονασάρου ἑκα„τοςὸν εἰκοςὸν ἕβδομον, ἐν ᾧ φησὶν ὁ Πτολεμαῖος „ἔκλειψιν γενέσθαι τῆς σελήνης, ἤτοι τῷ ε΄. ἔτει Να„πολλασάρου, ἐπὶ ρκζ΄. ἔτος ἀπὸ Ναβονασάρου, „κατ᾽ Αἰγυπτίους ἀθὺρ κζ΄. εἰς τὴν κη΄. ὥρας ια΄. „ληγούσης· τοῦτο δὴ τὸ ἔτος ἤρξατο τῷ τετρακισχιλιοςῷ ἐννενηκοςῷ τρίτῳ τῆς Ἰουλιανῆς περιόδου· τὸ δὲ τριακοσιοςὸν πεντηκοςὸν πέμπτον τῷ τετρακισχιλιοςῷ τριακοσιοςῷ εἰκοςῷ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006